Quoties autem inopia laborat vel exercitus, vel alia multitudo, abſque rege, aliquo abs ſe miſſo vendebat ea quæ condita erant. ¶ Cleomenes, accedente luna noua cùm ſtipendium eſſet dandum militibus, acceſſit de induſtria nauigio. Et deinde abeunte menſe diſcedens nauigo ſtipendium perſoluebat. Poſtea ſequente menſe differebat ſolutionem vſque ad alteram nouam lunã. Milites autem, quòd paulò antè ſtipendium accepiſſent, quieti erant: itaque ille vnum in anno menſem præteriens, vnius menſis ſtipendium militibus ſubtrahebat. ¶ Stabelbius cùm deberet militibus ſtipendium, conuocatis ductoribus, ſibi priuatis nihil prorſus opus eſſe dixit: & quoties indigeat militibus, ſi illorum cuique argentum dederit, ita ad conducẽdum externum militem eos poſſe ablegari. Et ea ſtipendia, quæ militibus perſoluere cogatur, ſe eis libentiùs eſſe daturum. Iuſſit igitur dimittere ſuos vnumquemque ita vt manipulatim ex illa regione diſcedant. Ductores cùm ea ex re lucri aliquid ſe facturos eſſe arbitrarentur, milites ita, quemadmodum Stabelbius præceperat, dimiſerunt. Modico autem interpoſito tempore, congregatis ipſis: neque tibicinis abſque cœtu Muſico, neque ductoris abſque militibus vſum eſſe dixit, iuſſitque eos regione illa excedere. ¶ Dionyſius circum fana obiens, ſicubi cerneret propoſitam menſulam auream aut argenteam, Boni euentus, cùm infundere iuſſiſſet, præcepit illam auferri. Quæ ſimulacra autem erant eiuſmodi, vt extenſa manu præferrent pateram, eam adimere iuſſit, quòd diceret ſe accipere. Pallia etiam aurea & coronas de ſimulacris detrahebat, dicebátque eis ſe & leuiora & melius odorata dare velle, atque ita illis pallium linteum & coronas violaceas circundabat.

ARISTOTELIS

artis Rhetoricæ

LIBER PRIMVS.

Antonio Riccobono interprete.

CAPVT I.

RHETORICA conuenientiam habet cum Dialectica: ambæ enim in eiuſmodi rebus verſantur, quæ communiter quodammodo cognoſcuntur ab omnibus, & nullius ſunt ſcientiæ definitæ. Quamobrẽ etiã omnes quodãmodo ambarũ participes

A ὁπότε δὲ διαπορείη τὸ στρατόπεδον, ἢ ἕτερος ὄχλος ἄνευ τοῦ βασιλέως, πέμψας τινὰ παρ' αὑτόν, ἐπώλει τὰ ἐκ τῶν θησαυρῶν. ¶ Κλεομένης, προσπορευομένης τε τῆς νουμηνίας, καὶ δέον τοῖς στρατιώταις σιταρχίαν δοῦναι, κατέπλευσεν ἐξεπίτηδες. προσπορευομένου δὲ τοῦ μηνὸς, ἀναπλεύσας, διέδωκε τὴν σιταρχίαν. εἶτα τοῦ εἰσιόντος μηνὸς, διέλιπεν ἕως τῆς νουμηνίας. οἱ μὲν οὖν στρατιῶται, διὰ τὸ νεω- B στὶ εἰληφέναι τὴν σιταρχίαν, ἡσυχίαν εἶχον. ἐκεῖνος δὲ, παραλλάξας ἕνα μῆνα παρὰ τὸν ἐνιαυτὸν, ἀφῄρει μισθὸν ἀεὶ μηνός. ¶ Σταβέλβιος ὁ μυσῶν, στρατιώταις μισθὸν συγκαλέσας, ἔφησεν αὐτῷ τῶν μὲν ἰδιωτῶν οὐδεμίαν χρείαν εἶναι, τῶν δὲ ἡγεμόνων, ὅταν δέηται στρατιωτῶν, ἐκείνων ἑκάστῳ δοὺς ἀργύριον, ἀποστέλλειν ἐπὶ ξενολογίαν· τοῖς τε μισθοῖς οὓς C δεῖ ἐκείνοις δοῦναι, τοῖς ἡγεμόσιν ἂν ἥδιον διδόναι. ἐκέλευεν οὖν αὐτοὺς ἀποστέλλειν ἕκαστον τοὺς αὐτῶν καταλόγους ἐκ τῆς χώρας. τῶν δὲ ἡγεμόνων ὑπολαβόντων χρηματισμὸν αὐτοῖς ἔσεσθαι, ἀπέστειλαν τοὺς στρατιώτας, καθάπερ ἐκεῖνος προσέταξε. διαλιπὼν δὲ ὀλίγον χρόνον, καὶ συναγαγὼν αὐτοὺς, οὔτε αὐλητὴν ἄνευ χοροῦ, οὔτε ἡγεμόνας ἄνευ ἰδιωτῶν οὐδὲν ἔφη χρησίμους εἶναι. D ἐκέλευεν οὖν αὐτοὺς ἀπαλλάττεσθαι ἐκ τῆς χώρας. ¶ Διονύσιος, τὰ ἱερὰ περιπορευόμενος, εἰ μὲν τράπεζαν ἴδοι παρακειμένην χρυσῆν ἢ ἀργυρᾶν, ἀγαθοῦ δαίμονος κελεύσας ἐγχέαι, ἐκέλευεν ἀφαιρεῖν. ὅσα δὲ τῶν ἀγαλμάτων φιάλην εἶχε προτετακότα, εἴπας ὅτι δέχομαι, ἐξαίρειν ἐκέλευε. τά θ' ἱμάτια, τά τε χρυσᾶ, καὶ τοὺς στεφάνους, περιῄρει τῶν ἀγαλμάτων· E φάσκων αὐτὸς καὶ κουφότερα καὶ εὐωδέστερα δοῦναι· εἶτα ἱμάτιον μὲν λινοῦν, στεφάνοις δὲ λευκίνοις περιετίθει.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

τέχνης ῥητορικῆς, τῶν εἰς τρία τὸ πρῶτον.

Κεφάλαιον α.

Η Ῥητορική ἐστιν ἀντίστροφος τῇ F διαλεκτικῇ· ἀμφότεραι γὰρ περὶ τοιούτων τινῶν εἰσιν, ἃ κοινὰ τρόπον τινὰ ἁπάντων ἐστὶ γνωρίζειν, καὶ οὐδεμιᾶς ἐπιστήμης ἀφωρισμένης. διὸ καὶ πάντες τρόπον τινὰ μετέχουσιν ἀμφοῖν.